# Σύναξη της Παναγίας της Κανάλας στην Κύθνο



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/3385/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: N/A
Δημιουργία εγγράφου: 26/04/2026 02:14:35

# Σύνοψη

| | |
|---|---|
| Τύπος εορτής: | Εορτάζει στις 15 Αυγούστου εκάστου έτους. |
| Ημ/νια Βίου: | N/A |

# Βιογραφία

Η Παναγία Κανάλα είναι ο ιερός τόπος της Κύθνου. Σύμφωνα με την παράδοση, η εικόνα της Παναγίας αναδύθηκε από το νερό, στην θαλάσσια περιοχή μεταξύ Κύθνου και Σερίφου, και παρουσιάσθηκε στους ψαράδες που ήταν εκείνη την ώρα εκεί. Οι ψαράδες την πήραν στη Κύθνο και έχτισαν την εκκλησία.

# Λειτουργικά κείμενα

**Μεγαλυνάριον**
Χαῖρε, Μητροπάρθενε Μαριάμ, Δέσποινα τοῦ κόσμου καί Βασίλισσα Οὐρανῶν˙ χαῖρε, Παναγία Κανάλα ἐκ θαλάσσης, ἡμῖν ἐπιδοθεῖσα, δῶρον αἰώνιον.

**Έτερον Μεγαλυνάριον**
Ἄσμασιν συμφώνως Ἀγγελικοῖς, μέλψωμεν Κανάλαν Παναγίαν ἁγνοπρεπῶς˙ χαῖρε ἐκβοῶντες Αὐτῇ ἐν εὐφροσύνῃ, χαρᾶς ἀτελευτήτου μέγα κειμήλιον.

**Έτερον Μεγαλυνάριον**
Ἰάσεις σωμάτων καί τῶν ψυχῶν, Κανάλα Παρθένε, ἡ Εἰκών Σου ἡ ἱερά, βλύζει ἀενάως τοῖς πίστει προσιοῦσι˙ καί γάρ ἀδυνατεῖ Σοι οὐδέν, Μητρόθεε.

**Έτερον Μεγαλυνάριον**
Ῥητόρων πολύφθογγοι λαλιαί, ὅλως σιωπῶσι πρό τοῦ τόκου Σου, Μαριάμ˙ μόνη γάρ ἀνάνδρως Θεόν τόν πρό αἰώνων γεγένηκας, Κανάλα, κόσμου εἰς λύτρωσιν.

**Έτερον Μεγαλυνάριον**
Ἔχει ὡς πολύολβον θησαυρόν, Κύθνου θεία νῆσος τήν Εἰκόνα Σου, Μαριάμ˙ ἔχει δέ Κανάλα ἀπόρθητον ὡς τεῖχος, πρεσβείας μητρικαῖς Σου, κτίσις ἡ σύμπασα.

**Έτερον Μεγαλυνάριον**
Νεῖλος ὥσπερ ἄλλος ἐπί τῆς γῆς ὤφθης, ὦ Κανάλα Παναγία, παναληθῶς˙ χάριν ἀκενώτως προχέουσα θαυμάτων, ψυχάς τε τηκομένων θείως εὐφραίνουσα.

**Έτερον Μεγαλυνάριον**
Ὕψος παρθενίας Σου ἐκπλαγείς, Ἄγγελος, Παρθένε, ὁ θεόσταλτος Γαβριήλ, χαῖρε Σοι ἐφώνει, Ἁγνή εὐλογημένη˙ καί πάντες Σοι, Κανάλα, χάριτας ᾄδομεν.

**Έτερον Μεγαλυνάριον**
Μύρῳ τῷ ἁγίῳ καί νοητῷ, ἔχρισε Πατήρ Σε τῶν ἁπάντων καί Βασιλεύς, Πνεῦμα Ἅγιον Σοι, Κανάλα, καταπέμψας, Υἱοῦ Αὐτοῦ καί Λόγου Μήτηρ γενέσθαι Σε.

**Έτερον Μεγαλυνάριον**
Φάλαγγας δαιμόνων τυραννικάς ἤσχυνας, Κανάλα Παναγία, νικητικῶς, κόσμῳ ὡς τεκοῦσα Θεόν, Σταυροῦ τό πάθει, συντρίψαντα τοῦ Ἅδου πᾶσαν τήν δύναμιν.

**Έτερον Μεγαλυνάριον**
Ἦλθον ἀπωλείας εἰς τόν βυθόν, ὅλως καταιγίς με ἐκταράττει τῶν λυπηρῶν· χεῖρα μοι παράσχου, Κανάλα Παναγία, τῆς Σῆς ἐπιστασίας, ὡς εὐσυμπάθητος.

**Έτερον Μεγαλυνάριον**
Ἄνω τῶν Ἀγγέλων αἱ στρατιαί, κάτω τῶν ἀνθρώπων, Παναγία, αἱ πατριαί, ᾄδουσι, Κανάλα, Μυστήριον τό μέγα, φρικτῆς οἰκονομίας ἥν ἐπετέλεσας.

**Έτερον Μεγαλυνάριον**
Νύκτα τήν βαθεῖαν καί ἀφεγγεῖ, ὅλως τῷ φωτί Σου διασκέδασας τῷ λαμπρῷ, Ἥλιον τεκοῦσα τόν ἄδυτον τῷ κόσμῳ, Χριστόν, Κανάλα Κόρη, κόσμον αὐγάζοντα.

**Έτερον Μεγαλυνάριον**
Ὑσσώπῳ τῶν θείων Σου πρεσβειῶν, πλῦνον με τοῦ ῥύπου, δυσμορφίας τε τῶν παθῶν, ὅπως τῷ Υἱῷ Σου ὀφθῶ κεκαθαρμένος, Κανάλα Παναγία, ἐν ὥρᾳ Κρίσεως.

**Έτερον Μεγαλυνάριον**
Μάννα τό οὐράνιον νοητῶς δίδως, Παναγία, ὦ Κανάλα, πᾶσι βροτοῖς· ἄρτον ὡς τεκοῦσα ζωῆς τῆς αἰωνίου, Χριστόν τροφήν τῇ κτίσει πάσῃ παρέχοντα.

**Έτερον Μεγαλυνάριον**
Φεῖσαι Κλήρου, Κόρη, καί τοῦ λαοῦ, τοῦ ἐν ἁμαρτίαις περιπίπτοντος χαλεπαῖς· χεῖρας τῷ υἱῷ Σου, Κανάλα Παναγία, ἀνάγουσα καί Τοῦτον ἵλεων ποίησον.

**Έτερον Μεγαλυνάριον**
Εὔας παρηκόου τήν ὀφειλήν, ἔλυσας, Παρθένε, εὐπειθείᾳ Σου πρός Θεόν, πᾶσαν δέ πικρίαν αὐχμοῦ πολυθεΐας μετέτρεψας, Κανάλα, δρόσον εἰς πάντερπνον.

**Έτερον Μεγαλυνάριον**
Ὑδάτων ἐν μέσῳ ἡ Σή Εἰκών, τῆς Κύθνου εὑρέθη, ὦ Κανάλα, ξενοπρεπῶς· ὕδωρ σωτηρίας πηγάζουσα ἀφθόνως καί βλύζουσα θαυμάτων χάριν γλυκύῤῥοον.

**Έτερον Μεγαλυνάριον**
Τόμον εἰς αἰώνιον τῆς ζωῆς γράψον, ὦ Κανάλα Παναγία, Σούς ὑμνητάς· Μήτηρ γάρ ὑπάρχεις Θεοῦ τοῦ κυβερνῶντος, πανσόφῳ ἐξουσίᾳ κόσμον ὅν ἔπλασεν.

**Έτερον Μεγαλυνάριον**
Ἔθνος τῶν Ἑλλήνων τό ἱερόν φύλαττε, Κανάλα Παναγία, ταῖς Σαῖς λιταῖς· φρούρει δέ καί σκέπε ἀεί τήν οἰκουμένην, παρέχουσα εἰρήνην καί μέγα ἔλεος.

# Αγιογραφίες / Φωτογραφίες



Παναγία η Κανάλα



Παναγία η Κανάλα



Παναγία η Κανάλα

# Οπτικοακουστικό Υλικό



Παναγιά η Κανάλα